GREK 2051 (Spring 2006)

**BIBLICAL READINGS**
supplement to Shelmerdine
**Chapter 20**

The Whore of Babylon:

1 καὶ ἦλθεν εἷς ἐκ τῶν ἑπτὰ ἀγγέλων τῶν ἐχόντων τὰς ἑπτὰ φιάλας, καὶ ἐλάλησεν
μετ᾽ ἐμοῦ λέγων, Δεῦρο, δείξω σοι τὸ κρίμα τῆς πόρνης τῆς μεγάλης τῆς καθημένης
ἐπὶ ὑδάτων πολλῶν, 2 μεθ᾽ ἧς ἐπόρνευσαν οἱ βασιλεῖς τῆς γῆς, καὶ ἐμεθύσθησαν οἱ
κατοικοῦντες τὴν γῆν ἐκ τοῦ οἴνου τῆς πορνείας αὐτῆς. 3 καὶ ἀπήνεγκέν με εἰς
ἔρημον ἐν πνεύματι. καὶ εἶδον γυναῖκα καθημένην ἐπὶ θηρίον κόκκινον, γέμοντα
ὀνόματα βλασφημίας, ἔχων κεφαλὰς ἑπτὰ καὶ κέρατα δέκα. 4 καὶ ἡ γυνὴ ἦν
περιβεβλημένη πορφυροῦν καὶ κόκκινον, καὶ κεχρυσωμένη χρυσίῳ καὶ λίθῳ τιμίῳ
καὶ μαργαρίταις, ἔχουσα ποτήριον χρυσοῦν ἐν τῇ χειρὶ αὐτῆς γέμον βδελυγμάτων
καὶ τὰ ἀκάθαρτα τῆς πορνείας αὐτῆς, 5 καὶ ἐπὶ τὸ μέτωπον αὐτῆς ὄνομα
γεγραμμένον, μυστήριον, Βαβυλὼν ἡ μεγάλη, ἡ μήτηρ τῶν πορνῶν καὶ τῶν
βδελυγμάτων τῆς γῆς. 6 καὶ εἶδον τὴν γυναῖκα μεθύουσαν ἐκ τοῦ αἵματος τῶν
ἁγίων καὶ ἐκ τοῦ αἵματος τῶν μαρτύρων Ἰησοῦ. καὶ ἐθαύμασα ἰδὼν αὐτὴν θαῦμα
μέγα.

(Ἀποκάλυψις Ἰωάννου 17.1-6)

ἅγιος –α –ον holy
αἷμα –ατος τό blood
ἀκάθαρτος -ον unclean
ἀποφέρω ἀποίσω ἀπήνεγκον carry away
βδέλυγμα –ατος τό something vile
βλασφημία –ας ἡ blasphemy
γέμω be full of
δεῦρο here
εἶδον (1st sg aor.indic act) < ὁράω
ἔρημος –ου ὁ desert
ἦλθε (3rd sg aor.indic act) came
θαῦμα –ατος τό awesome sight
θηρίον –ου τό beast
ἰδών (mas. nom. sg aor.part. act) < ὁράω
κάθημαι sit
κατοικέω inhabit
κέρας –ατος τό horn, wing
κεφαλή -ῆς ἡ head
κόκκινος –η –ον red, scarlet
κρίμα –ατος τό judgment, verdict
λαλέω talk, say
μαργαρίτης –ου ὁ pearl
μάρτυς –τυρος ὁ witness, martyr
μεθύω drink, be drunk
μέτωπον –ου τό forehead
μυστήριον –ου τό mystery
περιβάλλω put on
πνεῦμα –ατος τό breath, spirit
πορνεία –ας ἡ whoring
πορνεύω whore
πόρνη –ης ἡ whore
πορφυροῦς –ᾶ -οῦν purple
ποτήριον –ου τό drinking cup
τίμιος –α –ον precious
φιάλη –ης ἡ bowl
χείρ χειρός ἡ hand
χρυσίον –ου τό gold
χρυσοῦς -ᾶ -οῦν golden
χρυσόω be (covered with) gold